κινήσεώς τε κἀντερείσεως σθένος, ἀρξρ.. ς'χ.
νόσον τ' ἂν ἐξήγειρε κἀν τῷδ' ἀπνόῳ,
ξύμπτωμά τ' ἦν ἂν ταυτὸ κἀν τεθνηκότι,
τοιοῦδ' ἄληκτα δρῶντος ἐν τῷδ' αἰτίου·
ἄσσ' οὔποτ' ἂν γένοιτο· καὶ γὰρ οὐ πάρα
ὅγ' ἂν βλαβείη τῷδε· τοιγὰρ αἰτία ιη.. 360
ἢ δρᾷ νόσον τ' ὄχλον τε τῶν συμπτωμάτων
ἀεὶ ξυνῆπται τῷ κινήσεων σθένει,
κἀεὶ ξυνεργὸς ξύμμετρός τε τῷδ' ὅλως.

Κ. Οἷά γε τοίνυν ἐστὶν ἡ δρῶντος δράσις,
τοιόνδε δήπου κἀντερείσεως σθένος·
ἀεί τε τὸ δρῶν ταυτὰ δρᾷ παρεμμένον
ἥ τ' ἀντέρεισις τῷδ' ἀεί που συμπάρα,
εἰ μήποτ' ἀμφοῖν ἐμποδὼν γένοιτό τι
ἔξωθεν, ἤ τι θατέρου τῶνδ' ἐκ σθένους.
ἓν ὂν τὸ δρῶν μὲν ἐκτελεῖ δράσιν μίαν,
ἰσόῤῥοπόν τε τήνδ' ἑαυτοῦ τῷ σθένει,
ἀλλοῖα δ' ὄντα, ποικίλα, πλείω θ' ἅμα,
ἃ κλῆσιν εἰλήφασι τὴν ξυναιτίων,
τοιάσδε δρῶσι καὶ τοσάσδε σφῶν δράσεις,
τὰς τῶν νόσων δὴ συμπλοκὰς κεκλημένας,
ἥ τ' ἀντέρεισις τοῖσδ' ἰσόῤῥοπος πέλει.
ὅπῃ δὲ μεῖον τἀντερείσεως σθένος
δι' ἀδράνειαν τῶν μερῶν τινος πέλει,
ἐκεῖσε τὸ δρῶν εὐπετέστερον ῥέπει,
βίαν θ' ἑαυτοῦ δραστικωτέραν φέρει,

ὅπῃ